- Kephaliai
- Text and catena from 1:1 to 1:18

## 12.1 Text and Catenae

### 12.1.1 Folio 159r

<table>
<tr><td colspan="2">ἐπειδὴ οἱ ἐξ ιουδαίων πιστεύσαντες ἐκ ιλημ. ἐσκανδαλίζοντο εἴ τας περιτομῆν<br>κώλυει· τὸ δὲ παύλου κήρυγμα ἀνήρει τὴν περιτομὴν ὅπως αὐτοὺς ἀσκαν<br>δαλίστους τηρήσοι. κατ’ ἰδιαν αὐτοῖς ἀνέθετο τὸ κήρυγμα· τὸ εἰπεῖν δὲ τοῖς δο<br>κοῦσιν. οὐκ ἀναιροῦντος ἐστι τὸ ἐίναι τοὺς περῖ πέτρον μεγάλους· ἀλλ’ὡς ἄν τις ειποι<br>τοῖς οὖσι· τοῖς κορυφαιοις· οὐχ ἵνα δὲ ἐγὼ μάθω φησι μήπως εἰς κενὸν τρέχω ἢ ἔ(δ)ρα(μον)</td></tr>
<tr><td>(ἀνῆλ)θον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον καὶ ἐπέ<br>μεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε·<br>ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον. εἰ μὴ Ἰά<br>κωβον τὸν ἀδελφὸν τοῦ κυ· ἃ δὲ γράφω<br>ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ θυ ὅτι οὐ ψεύδομαι. ἔ<br>πειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ<br>τῆς Κιλικίας· ἤμην δὲ ἀγνοούμενος τῶι<br>προσώπωι ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας<br>ταῖς ἐν χωι· μόνον δὲ ἀκούοντες ἦσαν ὅτι<br>ὁ διώκων ἡμᾶς ποτὲ νῦν εὐαγγελίζεται τὴν<br>πίστιν ἥν ποτε ἐπόρθει· καὶ ἐδόξαζον ἐν ἐ<br>μοὶ τὸν θν· ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν<br>πάλιν ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνα<br>βα συμπαραλαβὼν καὶ Τίτον· ἀνέβην δὲ<br>κατὰ ἀποκάλυψιν· καὶ ἀνεθέμην αὐτοῖς τὸ<br>εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι· κατ’ ἰδί<br>αν δὲ τοῖς δοκοῦσιν, μή πως εἰς κενὸν τρέχω<br>ἢ ἔδραμον· ἀλλ’ οὐδὲ Τίτος ὁ σὺν ἐμοί, Ἕλλην<br>ὤν, ἠναγκάσθη περιτμηθῆναι· [4] διὰ δὲ τοὺς<br>παρεισάκτους ψευδαδέλφους· οἵτινες πα<br>ρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν</td><td>τούτοις ἀνεθέμ(εν)<br>τὸ κήρυγμα. ἤδειν<br>γὰρ ἐξ ἀποκαλύψεως<br>τοῦ χυ. τὴν ἀκρίβει<br>αν τοῦ κηρύγματος·<br>ἀλλ’ ἵνα μάθωσιν οἱ<br>διστάζειν με τοῖς<br>περὶ πέτρον ὑπονοοῦν<br>τες. ὅτι οὐκ εἰς κενὸν<br>τρέχω ἢ ἔδραμον<br>ἀλλ’οὐδε τίτος φησι ἐλ<br>Β<br>ληνῶν τουτεστιν ἄκρο<br>βυστος. ἠναγκασθη<br>περιτμηθῆναι· οὐδὲ<br>ἐπειδὴ οἱ ψευδαδελ<br>φοι παρῆσαν. ἠναγκα<br>σαν τῖτον οἱ ἀπόστο<br>λοι περιτμηθῆναι·<br>ὅπερ ἦν δεῖγμα τοῦ<br>μὴ νόμοθετεῖν τοὺς<br>ἀμφὶ πέτρον τὴν<br>περιτομην· ψευδα<br>δελφοι δὲ ἦσάν τι<br>νες ἐν σχήματι ἀδελ<br>φῶν χριστιανῶν. πε<br>ριτομὴν κηρσσόν</td></tr>
</table>

<table>
<tr><td></td><td>τες· οὐχ ὡς οἱ περὶ πέ<br>τρον διὰ συγκατα<br>βασιν καὶ οἱ ἰσονομίαν.<br>ἀλλ᾽ὡς νόμον ἐκ δ(ι)<br>κοῦντες· καὶ οἱ μὲν ἀ**<br>γολοι. παρὰ ἰ(ου)δ(αι)<br>ο(ι)σ· τοῦτο μόνον συ<br>νε(χ)ώρουν· ἐκεῖνοι<br>καὶ ἐν τοῖς ἔθνεσι (π)ε<br>ριτομὴν ἐνομοθε<br>τοῦν. οὗτοι γᾶρ ἦσαν<br>οἱ γαλάτας διαθ(ορυ)<br>βοῦντες· οἱ μ(ὲν) γὰ(ρ)<br>ἀμφι πέτρον δ(η)λ(οῦν)<br>το συνεχώρουν τὴν</td></tr>
<tr><td colspan="2">περιτομὴν. ἵνα κατὰ μικρὸν ὑποκλέψωσι τῆς δουλείας τοῦ νόμου· οὗτοι δέ φησι. ἵνα κατὰ<br>δουλώσωσι τῶ νόμω· διὸ ἐπάγει· οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῆ ὑποταγῆ· ὥστε τὸ διὰ. ἀντὶ<br>τοῦ καὶ τοι πρόσκειται· ὁ δὲ νοῦς οὕτως· οἱ ἀπόστολοι φησι οὐκ ἠνάγκασαν τὸν τῖτον περιτμηθῆναι καὶ<br>τοι τῶν παρεισάκτων ψευδαδέλφων ἀναφκαζόντων αὐτὸ τοῦτο ποιεῖν·<br>περὶ τῆς τῶν ἀποστόλων ἐπιμαρτυρήσεως εἰστὴν ἐν πίστει ζωήι.</td></tr>
</table>

## 12.1.2 Folio 159v

<table>
<tr><td colspan="2">ἀπὸ δὲ τῶν δοκούντων εἶναι μεγάλων τῶν ἀμφὶ πέτρον φησι· τὸ δοκούντων. ἀντὶ τοῦ ὄντων·<br>ὁποῖοί ποτε ἦσαν· οἷον εἴτε εὐαρεστοῦντες θεω. εἴτε οὔ· διὰ τὸ συγχωρεῖν περιτομὴν· ἐγὼ φημι<br>οὐ διαφέρομαι· οἶδα γὰρ ὅτι λόγον ἕκαστος δώσει· καὶ οὐκ ἂν αὐτοὺς ὁ θς ἐρυθριάση διὰ τὸ εἶναι<br>κορυφαίους· πρόσωπον γὰρ θς ἀνου οὐ λαμβάνει· (ὡς) γὰρ ἐπειδὴ μεγάλοι εἰσὶ καὶ ἔξαρχοι· ὁ θς πρό<br>σωπον αὐτῶν ληψεται· καὶ οὐκ εἶπεν ὁποὶοί ποτε εἰσὶν. ἀλλ᾽ ἦσαν· δεικνὺς ὅτι καὶ αὐτοὶ λοιπὸν.</td></tr>
<tr><td>ἦσαν παυσάμενοι τοῦ<br>ὄντως κηρύτ(τ)ειν·<br>κατὰ τοσοῦτον φησι οὐ<br>δέν μοι διαφέρει τὰ<br>παρ᾽αὐτῶν. ὅτι τέως<br>τοῦ ἐμοῦ κηρύγματος<br>ἀκούσαντες. οὐδὲν ἢ<br>προσέθηκαν ἢ ἀφεῖλον·<br>ἀλλὰ καὶ συμέπνευσαν<br>καὶ συνεφώνησαν. τοῦ<br>το γάρ ἐστι τὸ δεξιὰς ἔ<br>δωκαν· δοκοῦντας δὲ.<br>οἷον τοὺς μεγαλους ὄν</td><td>ἡμῶν ἣν ἔχομεν ἐν χωι ιυ, ἵνα ἡμᾶς καταδου<br>λώσωνται· οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῆι<br>ὑποταγῆ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμεί<br>νη πρὸς ὑμᾶς. ἀπὸ δὲ τῶν δοκούντων εἶναί<br>τι· ὁποῖοί ποτὲ ἦσαν οὐδέν μοι διαφέρει· πρό<br>σωπον θς ἀνου οὐ λαμβάνει· ἐμοὶ γὰρ οἱ δο<br>κοῦντες. οὐδὲν προσανέθεντο· ἀλλὰ τοὐναν<br>τίον· ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον<br>τῆς ἀκροβυστίας. καθὼς Πέτρος τῆς πε<br>ριτομῆς ὁ γὰρ ἐνεργήσας Πέτρωι εἰς ἀπο<br>στολὴν τῆς περιτομῆς ἐνήργησεν καὶ ἐμοὶ<br>εἰς τὰ ἔθνη. καὶ γνόντες τὴν χάριν τὴν δοθεῖ<br>σάν μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δο</td></tr>
</table>

<table>
<tr>
<td>τας καὶ πᾶσι δοκοῦντας.<br>τοὺς περὶ πέτρον φησι·<br>Διελόμενοι φησι τὸ κήρυ<br>γμα. τοὺς  πτωχοὺς ἀ<br>μερίστους ἔχομεν· πτω<br>χοὺς δὲ λέγει. τοὺς πα<br>ρὰ τῶν ἰδίων συμφυ<br>λετῶν μὴ πιστευσάν<br>των. διαρπαγέντας<br>διὰ τὴν εἰς χν πίστιν.<br>(ὥσ)τε μάχης· οὔτε κατα<br>γνώσεως ἦν. τὸ τὸν<br>παῦλον ἀντιστῆναι<br>τῶ πέτρω. ἀλλ᾽οἰκο<br>νομίας· ἐπειδὴ γὰρ<br>διὰ συγκατάβασιν<br>οἱ περὶ πέτρον ἐν ἵλημ<br>συνεχωροῦντο περι<br>τομὴν· κατὰ μικρὸν<br>βουλόμενοντοὺς ἐ<br>ξ ιουδαίων ἐπὶ τὸ τέ<br>λειον ἀγαγεῖν. ἐλθὼν<br>ὁ πέτρος εἰς ἀντιόχει</td>
<td>κοῦντες στῦλοι εἶναι. δεξιὰς ἔδωκαν ἐμοὶ καὶ<br>Βαρναβᾷ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη.<br>αὐτοὶ δὲ εἰς τὴν περιτομην· μόνον τῶν πτω<br>χῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ<br>τοῦτο ποιῆσαι· ὁτε δὲ ἦλθεν Πέτρος εἰς Ἀντι</td>
</tr>
<tr>
<td colspan="2">αν ἀχρι μὲν οὐδεὶς ἦν τῶν ἐξ ιουδίων ἄπιστος ἐκεῖ. ἀδιαφόρως μετὰ τῶν ἐξ εθνῶν πιστευ<br>σάντων συνήσθιεν· ὅτε δὲ παρεγένοντο· ἵνα μὴ αὐτοὺς σκανδαλίσῃ ἐτι ἀσθενεῖς ὄντας.<br>ὑπεστέλλετο συνεσθίειν ἔκείνοις· τὸν δὲ παῦλον φανερῶς ἀλλὰ μὴ κατιδιαν ἀντιστῆναι<br>αὐτῳ. οἰκονομίας ἦν· ἵνα οἱ ὁρῶντες ἐξ ιουδαίων πιστοὶ τὸν διδάσκαλον αὐτῶν πέτρον ἐγκα<br>(λ)ούμενον φανερῶς. τί δή ποτε μὴ συνεσθὶη τοῖς ἀκροβύστοις καὶ μὴ ἀντιλέγοντα. γνῶσιν ὡς<br>**χρειώδης λοιπὸν ἡ παρατήρησις τοῦ νόμον μετὰ τὴν πίστιν· ὅτι δὲ τοῦτο ὠκονόμητο. φα<br>(ν)ερῶς εἰς λόγους ἦλθεν ὁ παῦλος τῶ πέτρω. ἵνα οἱ ἐκ περιτομῆς πιστοὶ ἀκούοντες. μεταθῶν<br>(τί) τῆ(ς) τοῦ νόμον παρατηρήσεως· ὡς εἴγε τὸ ἀληθὲς ἦν ὀργὴ. ἔδει κατ᾽ ἰδίαν αὐτοὺς διαλεχθῆναι<br>προς ἑαυτοὺς· κατεγνωσμένος δὲ ἦν ὁ πέτρος τῆ ἀληθεία· οὐ παρὰ τοῦ παυλου τοῦ τὴν οἰκονο<br>μίαν εἰδότος. ἀλλὰ παρὰ τῶν ἀγνοοῦντ(ων) τὸ οἰκονομούμενον· καὶ οἰομένων ὑποκρίνειν διὰ τὸ<br>(πρ)αγμα. (ὅ)τι ἀπόντωνμὲν τῶν ἐξ ιουδαίων πιστῶν συνήσθιε τοῖς ἔθνεσι. παρόντων δὲ οὐκετι·<br>(τὰ)  τῆς πρὸς κηφᾶν ἀντιρρήσεως ὑπὲρ τῆς ἐν πίστει καὶ οὐκ ἐν νομω σριας.</td>
</tr>
</table>

### 12.1.3 Folio 160r

<table>
<tr>
<td>ὑπόκρισιν δὲ τὸ πρᾶγμα καλεῖ· ὁ γὰρ πέτρος συνυποκρίνεται ὡς ἁμαρτάνων ἵνα ἐν τῆ πρὸς<br>αὐτὸν ἐπιτμήσει διορθωθῶσιν· εἰ μὲν γὰρ τοῖς ἐξ ιουδαίων ὁ παῦλος ἐπέπληξεν· ἠγανά<br>κτησαν ἂν καὶ διέπτυσαν· οὐ γὰρ πολλὴν περὶ τούτου δόξαν εἶχον· νυνῖ δὲ τὸν διδάσκαλον</td>
</tr>
</table>

<table>
<tr><td colspan="2">ὁρῶντες ἐπιτιμώμενον καὶ σιγῶντα. οὐ κστσφρονῆσαι οὔτε ἀντεῖπεῖν τοῖσ λεγομένοις εἶχον·<br>ὃ σύ φῃσι μὴ ποιῇς. μήτε ἄλλους ἀνάγκαζε· διατὶ δὲ μὴ εἶπεν τί τοὺς ἐκ περιτομῆς ἀναγκά</td></tr>
<tr><td>όχειαν, κατὰ πρόσωπον αὐτῶι ἀντέστην, ὅτι<br>κατεγνωσμένος ἦν. πρὸ τοῦ γὰρ ἐλθεῖν τι<br>νὰς ἀπὸ Ἰακώβου. μετὰ τῶν ἐθνῶν συνήσθι<br>εν· ὅτε δὲ ἦλθον, ὑπέστελλεν καὶ ἀφώριζεν ἑ<br>αυτὸν. φοβούμενος τοὺς ἐκ περιτομῆς. καὶ συ<br>νυπεκρίθησαν αὐτῶι καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ὥ<br>στε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῆι ὑ<br>ποκρίσει. ἀλλ’ ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦ<br>σι πρὸ ἐστὶν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῶι<br>πέτρωι ἔμπροσθεν πάντων· εἰ σὺ Ἰουδαῖος<br>ὑπάρχων ἐθνικῶς ζῇς καὶ οὐκ Ἰουδαϊκῶς, τί<br>τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν· ἡμεῖς φύ<br>σει Ἰουδαῖοι. καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοὶ. εἰδό<br>τες ὅτι οὐ δικαιοῦται ἄνος ἐξ ἔργων νόμου ἐ<br>ὰν μὴ διὰ πίστεως ιυ χυ, καὶ ἡμεῖς εἰς ιυ χυ ἐπιστεύ<br>σαμεν· ἵνα δικαιωθῶμεν ἐκ πίστεως χυ καὶ οὐ<br>κ ἐξ ἔργων νόμου· διότι οὐ δικαιωθήσεται ἐξ ἔρ<br>γων νόμου πᾶσα σάρξ. εἰ δὲ ζητοῦντες δικαι</td>
<td>ζεις ἰουδαΐζειν· καὶ γὰρ<br>δι’ἐκείνους ταῦτα δι<br>ελέγετο καὶ ἀκολουθίαν<br>εἶχεν οὕτω λεχθῆναι·<br>ἀλλ’ ἵνα δείξῃ τῶν ἰδί<br>ων κήδεσθαι μαθητῶν<br>τῶν ἐξεθνῶν. ὅπως<br>μὴ ἀνακαλυφθῇ ἡ οἰ<br>κονομία. δι’ ἣν ἡ ἔγκλης<br>τὸ φύσει. ἀντὶ τοῦ ἄνω<br>θεν καὶ ἐκ προγόνων φῄς;<br>ἤτοι διὰ τῆν ἐν αὐτῶ<br>ἐπάχθειαν· ἔργα δὲ<br>λέγει τοῦ νόμου. τὰ πε<br>ρί σαββάτου καὶ περιτο<br>μῆς καὶ γονορρυοῦς καὶ<br>λεπροῦς καὶ θυσιῶν καὶ περ<br>ριραντιρίων. ἅπερ ἴ<br>διαν ἡτοῦ νόμου· τού<br>των δὲ. ἡ μὲν παρά<br>βασις, ἁμαρτία ἦν· ἡ<br>δὲ φυλακὴ. οὐ δικαιο<br>σύνης τελείας κατόρ<br>θωσις· ταῦτα γὰρ. ἑ<br>τέρων αἰνίγματα·<br>ἰουδαίοις δὲ ὅμως κα<br>τ’ ἐκεῖνον ἥρμοτ(τ)ε τὸν<br>καιρόν<br>εἰ δὲ βουλόμενοί φησι<br>διᾶ χυ δικαιωυῆναι.<br>εὑρέθημεν ἁμαρτωλοὶ<br>τῶ τὸν νόμον καταλι<br>πεῖν. ἄρα ὁ χς ἡμῖν ἁ<br>μαρτίας γέγονε πρόξε<br>νος· εἶτα τὸ ἄτοπον<br>τῆ ἀπαγορεύσει ἀνεῖ<br>λεν. εἰπὼν μῆτε γένοιτο</td></tr>
</table>

### 12.1.4 Folio 160v

<table>
<tr><td colspan="2">κατελύσαμέν φησι τὸν νόμον. τῷ ἐάσαι αὐτὸν καὶ χω προσδραμεῖν· ἐὰν πάλιν αὐτὸν ἱστᾶν ἐπιχειροῦ<br>μεν. κατ’ αὐτὸ τοῦ παραβάται ἐσμὲν· ὅτι τὰ παρημῶν λυθέντα. ἱστᾶν πάλιν ἐπιχειροῦμεν· ἐκ<br>γὰρ τοῦ πάλιν πείθεσθαι τῷ νόμῳ. Δεικνύω. ὅτι ὡς παραβάτης αὐτὸν τὸ πρῶτον εἴασα χω ἐπίστευσα.<br>διὰ τοῦ νόμου τοῦ εὐαγγελικοῦ ἀπέθανον τῷ νόμῳ φησι. πῶς οὖν ὁ νεκρωθεὶς και ἀνενεργήτως ἔ<br>χων πρὸς αὐτὸν. φυλάξω αὐτόν. ἢ διὰ τοῦ νόμου αὐτοῦ. καὶ τῶν ἐν αὐτῷ δυσχερῶν παρατηρήσεων.<br>νεκρὸς γέγονα τῇ ἁμαρτίᾳ δι’ αὐτοῦ· ἄρ’ οὖν τὸν ἀποκτείναντα φυλάξαι ἄξιον; ἤτοι αὐτῷ τῷ νό</td></tr>
<tr><td>μῳ πεισθεὶς. νεκρὸν<br>ἐμαυτὸν τῷ νόμῳ κα<br>τέστησα ὁ μόμος γάρ μοι<br>τὸν χν προεμήνυσε· καὶ<br>ἐκείνῳ μέν εἰμι νεκρὸς<br>οὐκέτι γὰρ πολιτεύομαι<br>κατ’ ἐκείνον. τοῖς δὲ<br>τούτου δόγμασιν ἕπομαι.<br>μόνον φησι τῆν νοητὴν<br>ζωῆν διὰ τὸν χν ζῶ. ἀλ<br>λὰ καὶ τῆν αἰσθητήν· ὑπὸ<br>γὰρ ἀπόφασιν ὄντες δι<br>ὰ τὸν νόμον. ἢ μέλλο<br>μεν σαρκικῶς ἀποθνή<br>σκειν ὡς ἐπὶ τοῦ κατα<br>κλυσμοῦ· ὁ δὲ χς ἡμᾶς<br>τῆς ἀρᾶσ τοῦ νόμου λυ<br>τρωσάμενος. ζῆν ἐ<br>ποίησε· πῶς οὖν πάλιν<br>ὑποστρέψωμεν πρὸς<br>τὸν μόμον;<br>(οὐκ) ἀθετῶ φησι τῆν χάριν<br>τοῦ θυ. ὡς οἵ γε ἔτι καὶ νῦν<br>τοῦ νόμου ἐχόμενοι. ἀ<br>θετοῦσι τὴν διὰ χυ χάριν.<br>ἀθετεῖν δέ ἐστι. τὸ ἀπι<br>στεῖν· τὸ εὐτελίζειν καὶ δι<br>απαίζειν· εἰ γὰρ ὁ νόμος<br>φησι σωζειν καὶ δικαιοῦν<br>ἰσχύες. ὁ χς μάτην ἀπέ<br>θανε. δια τοῦτο γὰρ πα<br>ρέδωκεν ἑαυτὸν ὡς<br>τοῦ νόμου μὴ ἰσχύοντος.<br>ἵνα αὐτοὺς σώσῃ διὰ</td>
<td>ωθῆναι ἐν χωι εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα<br>χς ἁμαρτίας διάκονος; μὴ γένοιτο· εἰ γὰρ ἃ κα<br>τέλυσα ταῦτα πάλιν οἰκοδομῶ. παραβάτην<br>ἐμαυτὸν συνιστάνω. ἐγὼ γὰρ διὰ νόμου νόμωι ἀ<br>πέθανον. ἵνα θωι ζήσω. χωι συνεστρωμαι· ζῶ δὲ οὐ<br>κέτι ἐγώ. ζῇ δὲ ἐν ἐμοὶ χς· ὃ δὲ νῦν ζῶ ἐν σαρκί. ἐν πί<br>στει ζῶ τῆι τοῦ υἱοῦ τοῦ θυ τοῦ ἀγαπήσαντόσμε. καὶ<br>παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ· οὐκ ἀθετῶ τὴν<br>χάριν τοῦ θυ· εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα χς<br>δωρεὰν ἀπέθανεν· ὦ ἀνόητοι Γαλάται· τίς<br>ὑμᾶς ἐβάσκανε τῆι ἀληθείαι μὴ πείθεισθαι· οἷς<br>κατ’ ὀφθαλμοὺς ις χσ προεγράφη ἐν ὑμῖν ἐστρωμέ<br>νος· τοῦτο μόνον θέλω μαθεῖν ἀφ’ ὑμῶν· ἐξ ἔργων<br>νόμου τὸ πνα ἐλάβετε. ἢ ἐξ ἀκοῆς πίστεως· οὕτως<br>ἀνόητοί ἐστε; ἐναρξάμενοι πνι. νῦν σαρκὶ ἐπι<br>τελεῖσθε· τοσαῦτα ἐπάθετε εἰκῇ; εἴ γε καὶ εἰκῇ. ὁ<br>οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνα καὶ ἐνεργῶν δυνάμεις<br>ἐν ὑμῖν, ἐξ ἔργων νόμου. ἢ ἐξ ἀκοῆς πίστεως; Καθὼς</td></tr>
</table>

<table>
<tr><td>τοῦ θανάτου αὐτοῦ· ὡς<br>εἴτε σώζει ὁ νόμος. πε<br>ριτ(τ)ὸς ὁ θάνατος τοῦ κυ.<br>τω γὰρ ἐπιστεύσατε φησι.<br>ὡς αὐτὸν τοῦ χυ τὸν στρν<br>θεασάμενοι.</td><td></td></tr>
<tr><td colspan="2">ἃ τῶν ἐν νόμω ἔργων· πνα ἅγιον φησι ἐλάβετε· καὶ τοσαῦτας δυνάμεις καὶ σημεῖα ἐποιήσατε. ἢ διὰ<br>τῆς πίστεως· εὔδηλον ὅτι διὰ τῆς πίστεως· ἐπεὶ μὴ ὅτε τοῦ νόμου εἴχεσθε πης ἦτε ἠξιωμένοι;<br>(όπ)ῶς οὖν ἀφέντες τὴν πίστιν. ἔχεσθε πάλιν τοῦ νόμου·. πνα τὴν χάριν ἐκάλεσε· σάρκα δὲ. τὴν<br>(κα)τὰ νόμον πολιτείαν. ὁ ἐπιχορηγῶην (φασι) ὑμῖν τὸ πνα θς καὶ ἐνεργῶν· τουτέστιν ἐργαζόμενος<br>***νάμεις σημείων ἐν ὑμῖν. διὰ τὰ ἐκ νόμου ἔργα τα[θτα ποιεῖ φασι. ἢ διὰ τὴν εἰς χν πίστιν· εὔδολον ὅτι<br>διὰ ταύτην· μάλιστα μὲν οὖν ἐξ ὧν ἐπετελέσατε σημείων. ὀφείλετε γνῶναι ὅτι ἡ δύναμις ἐστὶ τῆς<br>πίστεως· πλὴν. καὶ πρὸς τὸν προπάτορα ἀβραὰμ ἀπίδετε. ὅτι καὶ αὐτὸς ἐκπίατεως ἐδικαιώθη.<br>ὅτι διὰ μίστεως ὁ ἁγγιασμὸς. καὶ οὐ διὰ νόμου.</td></tr>
</table>

### 12.1.5 Folio 161r

<table>
<tr><td colspan="2">τὸ ἐν εὐλογήθσονται ἐν σοὶ. ἀντὶ τοῦ ἐν τῶ σπέρματί σου. φησι ὅσ ἐστι χς· δύναται δὲ τὸ ἐν σοὶ.<br>καὶ διὰ τὴν ἀπ᾽αυτοῦ πίστιν νοεῖσθαι· ἢ τὸ ἐν σοὶ. ἀντὶ τοῦ κατὰ μίμησίν σου καὶ ὁμοιότητα.<br>ὅσοι εἰσὶ φησι ἐχόμενοι τοῦ νόμου. ἐπικατάρατοί εἰσι· διὰ τὸ μὴ ἰσχύειν πληροῦν τὸν νόμον.<br>γέγονέ φησι ἐπικατάρατος βουληθεὶς ὁ χς. ἱνα εἰστὰ ἔθνη τὰ τῆς ἐπαγγελίας τοῦ ἀβραᾶμ γένηται διὰ<br>τοῦ χυ· σπέρμα γὰρ αὐτοῦ ὁ χς. φησι γάρ· ὅτι ἐν τῶ σπέρματί σου ἐνευλογηθονται πάντα ἔ</td></tr>
<tr><td>ἀβραὰμ ἐπίστευσεν τῶι θεῶι, καὶ ἐλογίσθη αὐτῶι εἰς<br>δικαιοσύνην· γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστε<br>ως, οὗτοί εἰσιν υἱοί ἀβραάμ· προϊδοῦσα δὲ ἡ γρα<br>φὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θς, προ<br>ευηγγελίσατο τῶι Ἀβραὰμ ὅτι ἐνευλογηθή<br>σονται ἐν σοὶ πάντα τὰ ἔθνη· ὥστε οἱ ἐκ πί<br>στεως εὐλογοῦνται σὺν τῶι πιστῷ ἀβραάμ· ὅσοι γὰρ ἐξ ἔρ<br>γων νόμου εἰσίν, ὑπὸ κατάραν εἰσίν· γέγραπται<br>γὰρ· ὅτι ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν<br>πᾶσι τοῖς γεγραμμένοις ἐν τῶι βιβλίωι τοῦ νόμου<br>τοῦ ποιῆσαι αὐτά· ὅτι δὲ ἐν νόμωι οὐδεὶς δικαι<br>οῦται παρὰ τῶι θωι δῆλον· ὅτι ὁ δίκαιος ἐκ πί<br>στεως ζήσεται· ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως.<br>ἀλλ᾽ ὁ ποιήσας αὐτὰ ἄνος. ζήσεται ἐν αὐτοῖς.<br>χς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου·<br>γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γὰρ·<br>ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου·<br>ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ ἀβραὰμ γένηται<br>ἐν χωι ιυ, ἵνα τὴν ἐπαγγελίαν τοῦ πνς λάβωμεν</td><td>θνη.<br>ἐπειδὴ φησι ἐπηγγείλα<br>το ὁ θς τῶ ἀβραὰμ δι<br>ὰ τοῦ σπερματος αὐτοῦ<br>εὐλογεῖσθαι τὰ ἔθνη.<br>σπέρμα δὲ τοῦ ἀβραὰμ<br>τὸ κατὰ σάρκα ὁ χς. ὁ δὲ<br>νόμος ἐδόθη· μετὰ υλ<br>ἔτη· εἰ τοίνυν ὁ νόμος<br>χαρίζεται τὰς εὐλογίας<br>καὶ τὴν δικαιοσύνην. ἡ<br>ἐπαγγελία καὶ ἡ διαθή<br>κη τοῦ θυ ἡ πρὸς ἀβρα<br>ὰμ. ἄκυρος γίνεται· εἰ<br>τα φησι. ανου μὲν οὐδεὶς<br>ἀθετεῖ διαθήκην, τοῦ<br>δὲ θυ ἀκυροῦται ἡ δια<br>θήκη; καὶ ταῦτα πολὺν<br>χρόνον κρατήσασα υλ</td></tr>
</table>

<table>
<tr><td>διὰ τῆς πίστεως· ἀδελφοί, κατὰ ἄνον λέγω· ὅ</td><td>ἔτη. εἰ γὰρ ἐπηγγείλα<br>το μὲν ἐκείνη εὐλογεῖν<br>διὰ τοῦ χυ εὐλογεῖ.<br>ἄρα ἀκυροῦται ἡ δια<br>θήκη τοῦ θυ ἡ πρὸς ἀ<br>βραὰμ.</td></tr>
<tr><td colspan="2">ὅτι ἀβραὰμ ἐκ πίστεως δικαιώθη εἰς τύπον ἡμῶν<br>ὅτι ὁ νόμος δικαιοῖ. ἀλλ’ ἐλέγχει καὶ κατάραν ἐπιτι<br>θησιν ἣν λύει ὁ χς.</td></tr>
</table>

### 12.1.6 Folio 161v

<table>
<tr><td colspan="2">ὡς ἐξ ἀντιθέσεως εἰρηται αὐτῶ· τί οὖν ὁ νόμος ἐδόθη φησι εἰ σῶσαι οὐκ ἰσχύει· οὐκ εἰκῆ ἐδόθη<br>φησι. ἀλλ’ἱνα μὴ παραβαίνηται τὸ δοκοῦν τῶ θω· ἵνα κἂν ὀλίγας πλημμελείας κωλύη· καλῶς<br>οὖν τὸ προσετέθη. ἵνα δείξη τὸν νόμον τὰ μὴ ὄντα πρωτότυπον ὥσπερ αἱ ἐπαγγελίαι διὸ<br>*κεὶς ἀπέραν τόν φησι ἐδόθη. ἀλλ’ἄχρις οὗ ἔλθη ὁ χς ᾧ ἐπήγγελται ἐν εὐλογεῖν πάντα τὰ ἔθνη·<br>ἐδόθη δὲ ὁ νόμος διακομισθεὶς καὶ διαταγεὶς διὰ μέσων ἀγγέλων ἢ τῶν ἱερέων. ἢ ὄντως</td></tr>
<tr><td>ἀγγέλων. διὰ χειρὸς<br>μεσίτου τουτέστι<br>τοῦ χυ· ὁ οὖν δεδωκὼς<br>καὶ ἀνελεῖν ἐξουσίαν<br>ἔχει. μεσίτην δὲ τὸν<br>χν καλεῖ. διὰ τὸ μεσι<br>τευσαι τῶ πρι τοὺς<br>ανους πρὸς φιλίαν·<br>καὶ ἀποκαταλλάξαι ἡ<br>μᾶς προς θν ἐκπολε<br>μωμένους.<br>Ὁ λέγει τοιοῦτόν ἐστι·<br>μωσῆς μὲν ἐμεσιτευ<br>σεν ἑνι μόνον ἔθνει<br>πρὸς τὴν δόσιν τοῦ<br>νόμου. δεῖ δὲ τὸν ἀ<br>ληθῶς μέλλοντα με<br>σιτεύειν πρὸσ τὸν τῶν<br>πάντων ἐθνῶν ἕνα<br>θν· οὐχ ὑπερ ἑνὸς ἔ<br>θνους. ἀλλ’ ὑπὲρ πάν<br>των κοινῆ τὴν μεσι<br>τείαν ποιήσασθαι. ἐ<br>πειδὴ καὶ πάντων τῶν</td><td>Μὲν ἐμεσιτευμως ἀνου κεκυρωμένην διαθήκην. οὐδεὶς ἀ<br>θετεῖ ἢ ἐπιδιατάσσεται. τῶι δὲ Ἀβραὰμ ἐρρέ<br>θησαν αἱ ἐπαγγελίαι καὶ τῶι σπέρματι αὐτοῦ· οὐ<br>λέγει καὶ τοῖς σπέρμασιν ὡς ἐπὶ πολλῶν. ἀλλ’ ὡς ἐ<br>φ’ ἑνός· καὶ τῶι σπέρματί σου, ὅς ἐστι χς· τοῦτο δὲ<br>λέγω· διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ θυ<br>εἰς χν· ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα γεγο<br>νὼς νόμος. οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐ<br>παγγελίαν· εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐ<br>κέτι ἐξ ἐπαγγελίας· τῶι δὲ Ἀβραὰμ δι’ ἐπαγγελίας κε<br>χάρισται ὁ θς. τί οὖν· ὁ νόμος τῶν παραβάσεων<br>χάριν προσετέθη. ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ὃ<br>ἐπήγγελται, διαταγεὶς δι’ ἀγγέλων ἐν χειρὶ μεσίτου.<br>ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ θς εἷς ἐστιν. ὁ οὖν<br>νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θυ; μὴ γένοιτο.<br>εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζῳοποιῆσαι.<br>ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη· ἀλλὰ συνέ<br>κλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγ</td></tr>
</table>

<table>
<tr><td>ἐθνῶν εἰς εστι θς· εἵ<br>η δ’ ἂν οὗτος οὐ ψιλὸς<br>ανος οἷος ὁ μωσῆς.<br>ἀλλὰ χς ὁ υς τοῦ θυ.<br>θς τε ὢν ὁ αὐτὸς ἅμα<br>καὶ ανος· καὶ τῇ συγγενεί<br>α τῇ πρὸς ἑκάτερον.<br>εἰς ἐν συνάγων ἐν<br>ἑαυτῷ τὰ ἑκάτερα.<br>εἰ γὰρ αἱ ἐπαγγελία<br>φασι εὐλόγουν· ὁ δὲ<br>νόμος ἐπικαταρά<br>τους ποιεὶ. ἄρα ὁ νό</td><td></td></tr>
<tr><td colspan="2">μος κατα τῶν ἐπαγγελίῶν τοῦ θυ ἐδόθη· τοῦτέστιν εἰς τὸ ἐμποδίσαι αὐταῖς τοῦ εὐλο<br>γῆς (αἷς) ταύτην οὖν κωλύει τὴν ἀντίθεσιν. τοῖς τε ἑξῆς καὶ τῇ ἀπαγορεύσει εἰπὼν μὴ τένοιτο.<br>(τὸ) συνέκλεισεν. ἀντί τοῦ ἤλεγξε τέθεικε. διηλεγξε φησι ἡ θεία γραφὴ καὶ τοὺς προκό<br>μους τοὺς ἐν νόμῳ· τοὺς μὲν τὸν τῆς φυσεως. τοὺς δὲ τὸν μωσαϊκὸν παραβαίνον,<br>*ρας νόμον· ἀλειφάρμακον δὲ, τούτοις τε κακείνοις· τὴν ἐπηγγελμένην διὰ τῆς<br>πίστεως ιυ χυ προσενήνοχε σριαν.<br>ὅτι οὐκ ἐκ νόμον ἀλλ’ ἐξ ἐπαγγελίας τὰ ἀγαθά· ὁ δὲ νόμος πα<br>ρασκευαστὴς δι’ἐλέγχου.</td></tr>
</table>

### 12.1.7 Folio 162r

<table>
<tr><td colspan="2">πρὸ τοῦ ἐλθεῖν φησι τὴν πίστιν</td></tr>
<tr><td>ἐπαγγελία ἐκ πίστεως ιυ χυ δοθῇ τοῖς πιστεύουσι·<br>πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν. ὑπὸ νόμον ἐφρου<br>ρούμεθα. συγκλειόμενοι εἰς τὴν μέλλουσαν<br>πίστιν ἀποκαλυφθῆναι· ὥστε ὁ νόμος παι<br>δαγωγὸς ἡμῶν γέγονεν εἰς χν, ἵνα ἐκ πίστεως<br>δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέ<br>τι ὑπὸ παιδαγωγόν ἐσμεν· πάντες γὰρ υἱοὶ<br>θυ ἐστε διὰ τῆς πίστεως ἐν χωι ιυ· 27 ὅσοι γὰρ εἰς χν<br>ἐβαπτίσθητε. χν ἐνεδύσασθε· οὐκ ἔνι ιουδαῖ<br>ος οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος·<br>οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς<br>ἐστε ἐν χωι ιυ. εἰ δὲ ὑμεῖς χυ, ἄρα τοῦ ἀβραὰμ<br>σπέρμα ἐστέ, κατ’ ἐπαγγελίαν κληρονόμοι. λέ<br>γω δέ, ἐφ’ ὅσον χρόνον ὁ κληρονόμος νήπιός<br>ἐστιν, οὐδὲν διαφέρει δούλου κς πάντων ὤν, ἀλ<br>λ’ ὑπὸ ἐπιτρόπους ἐστὶν καὶ οἰκονόμους. ἄχρι τῆς</td><td></td></tr>
</table>

| | |
|---|---|
| προθεσμίας τοῦ πρς· οὕτως καὶ ἡμεῖς· ὅτε<br>ἦμεν νήπιοι. ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἤμεν<br>δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα<br>τοῦ χρόνου. ἐξαπέστειλεν ὁ θς τὸν υν αὐτοῦ, γενό<br>μενον ἐκ γυναικός. γενόμενον ὑπὸ νόμον, ἵνα | |
| | |

### 12.1.8 Folio 162v

| | |
|---|---|
| | |
| | τοὺς ὑπὸ νόμον ἐξαγοράση. ἵνα τὴν υἱοθεσίαν ἀ<br>πολάβωμεν. ὅτι δέ ἐστε υἱοί. ἐξαπέστειλεν ὁ θς<br>τὸ πνμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κρά<br>ζον· αββα ὁ πηρ. ὥστε οὐκέτι εἶ δοῦλος ἀλλ’ υς·<br>εἰ δὲ υς, καὶ κληρονόμος θυ διὰ χυ· ἀλλὰ τότε μὲν<br>οὐκ εἰδότες θν. ἐδουλεύσατε τοῖς μὴ φύσει μὴ οὖσι<br>θεοῖς· 9 νῦν δὲ γνόντες θν, μᾶλλον δὲ γνωσθέντες<br>ὑπὸ θυ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ<br>καὶ πτωχὰ στοιχεῖα. οἷς πάλιν ἄνωθεν δουλεύειν θέ<br>λετε· ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ ἐνιαυ (καιροὺς καὶ above the line)<br>τούς. φοβοῦμαι ὑμᾶς μή πως εἰκῆ κεκοπίακα<br>εἰς ὑμᾶς. γίνεσθε ὡς ἐγώ. ὅτι κἀγὼ ὡς ὑμεῖς·<br>ἀδελφοί· δέομαι ὑμῶν. οὐδέν με ἠδικήσατε· οἴ<br>δατε δὲ ὅτι δι’ ἀσθένειαν τῆς σαρκὸς εὐηγγελι<br>σάμην ὑμῖν τὸ πρότερον· καὶ τὸν πειρασμόν μου<br>τὸν ἐν τῆι σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ ἐξε<br>πτύσατε. ἀλλ’ ὡς ἄγγελον θυ ἐδέξασθέ με, ὡς χν<br>ιν. τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν· μαρτυρῶ<br>γὰρ ὑμῖν· ὅτι εἰ δυνατὸν τοὺς ὀφθαλμοὺς ὑμῶν |
| | |

### 12.1.9 Folio 163r

| | |
|---|---|
| | |
| ἐξορύξαντες ἐδώκατέ μοι· ὥστε ἐχθρὸς ὑμῶν<br>γέγονα ἀληθεύων ὑμῖν· ζηλοῦσιν ὑμᾶς οὐ κα<br>λῶς. ἀλλ’ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν. ἵνα αὐτοὺς<br>ζηλοῦτε· καλὸν δὲ ζηλοῦσθαι ἐν καλῶι πάν<br>τοτε· καὶ μὴ μόνον ἐν τῶι παρεῖναί με πρὸς ὑμᾶς·<br>τεκνία μου, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφω<br>θῇ χς ἐν ὑμῖν· ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς | |

| | |
|---|---|
| ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν μου· ὅτι ἀποροῦμαι<br>ἐν ὑμῖν· λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι·<br>τὸν νόμον οὐκ ἀκούετε· γέγραπται γὰρ ὅτι ἀ<br>βραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης<br>καὶ ἕνα ἐκ τῆς ἐλευθέρας· ἀλλ’ ὁ μὲν ἐκ τῆς παι<br>δίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς<br>ἐλευθέρας διὰ τῆς ἐπαγγελίας· ἅτινά ἐστιν ἀλ<br>ληγορούμενα· αὗται γάρ εἰσιν δύο διαθῆκαι·<br>μία μὲν ἀπὸ ὄρους σινᾶ εἰς δουλείαν γεννῶ<br>σα. ἥτις ἐστὶν ἀγάρ. τὸ γὰρ ἀγὰρ σινᾶ ὄρος ἐστὶν | |
| | |

## 12.1.10Folio 163v

| | |
|---|---|
| | |
| | ἐν τῆι ἀραβίαι· συστοιχεῖ δὲ τῆι νῦν ιλήμ. δουλεύει<br>δὲ μετὰ τῶν τέκνων αὐτῆς. ἡ δὲ ἄνω ιλήμ ἐ<br>λευθέρα ἐστίν. ἥτις ἐστὶν μηρ παντων ἡμῶν· γέ<br>γραπται γάρ. εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτου<br>σα· ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ<br>τὰ τέκνα τῆς ἐρήμου μᾶλλον. ἢ τῆς ἐχούσης<br>τὸν ἄνδρα· ἡμεῖς δέ, ἀδελφοί, κατὰ ἰσαὰκ<br>ἐπαγγελίας τέκνα ἐσμέν· ἀλλ’ ὥσπερ τότε ὁ<br>κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ<br>πνα, οὕτως καὶ νῦν· ἀλλὰ τί λέγει ἡ γραφή· **ἔκβα**<br>**λε τὴν παιδίσκην καὶ τὸν υν αὐτῆς· οὐ γὰρ μὴ**<br>**κληρονομήσῃ ὁ υς τῆς παιδίσκης μετὰ τοῦ υἱ**<br>**οῦ** τῆς ἐλευθέρας· ἄρα ἀδελφοί, οὐκ ἐσμὲν<br>παιδίσκης τέκνα ἀλλὰ τῆς ἐλευθέρας·<br>τῆι ἐλευθερίᾳ οὖν ἧι χς ἡμᾶς ἠλευθέρωσε·<br>στήκετε· καὶ μὴ πάλιν ζυγῶι δουλείας ἐνέχεσθε·<br>ἴδε ἐγὼ παῦλος λέγω ὑμῖν· ὅτι ἐὰν περιτέμνη<br>σθε. χς ὑμᾶς οὐδὲν ὠφελήσει. μαρτύρομαι<br>δὲ πάλιν παντὶ ἀνωι περιτεμνομένωι ὅτι |
| | |

## 12.1.11Folio 164r

| | |
|---|---|
| | |
| ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. κατηρ<br>γήθητε ἀπὸ τοῦ χυ. οἵτινες ἐν νόμωι δικαι | |

| | |
|---|---|
| οὖσθε. τῆς χάριτος ἐξεπέσατε· ἡμεῖς γὰρ<br>πνι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀ<br>πεκδεχόμεθα· ἐν γὰρ χωι ιυ Ἰησοῦ οὔτε περιτο<br>μή τι ἰσχύει. οὔτε ἀκροβυστία. ἀλλὰ πίστις<br>δι’ ἀγάπης ἐνεργουμένη· ἐτρέχετε καλῶς.<br>τίς ὑμᾶς ἐνέκοψε τῆι ἀληθείαι μὴ πείθε<br>σθαι· ἡ πεισμονὴ. οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς·<br>μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ· ἐγὼ πέ<br>ποιθα εἰς ὑμᾶς ἐν κωι. ὅτι οὐδὲν ἄλλο φρο<br>νήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ<br>κρίμα, ὅστις ἐὰν ἦι. ἐγὼ δέ, ἀδελφοί· εἰ περι<br>τομὴν ἔτι κηρύσσω. τί ἔτι διώκομαι· ἄρα κα<br>τήργηται τὸ σκάνδαλον τοῦ στρου. ὄφελον<br>καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς·<br>ὑμεῖς γὰρ ἐπ’ ἐλευθερίαι ἐκλήθητε, ἀδελ<br>φοί· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν | |
| | |

### 12.1.12Folio 164v

| | |
|---|---|
| | |
| | τῆι σαρκί. ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλ<br>λήλοις· ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγωι πληροῦ<br>ται, ἐν τῶι ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑ<br>αυτόν· εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε.<br>βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε. λέγω<br>δέ, πνι περιπατεῖτε. καὶ ἐπιθυμίαν σαρκὸς<br>οὐ μὴ τελέσητε· ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ<br>τοῦ πνς. τὸ δὲ πνα κατὰ τῆς σαρκός· ταῦ<br>τα δὲ ἀντίκειται ἀλλήλοις. ἵνα μὴ ἃ ἂν θέ<br>λητε ταῦτα ποιῆτε· εἰ δὲ πνι ἄγεσθε. οὐκ ἐστὲ<br>ὑπὸ νόμον· φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρ<br>κός· ἅτινά ἐστιν μοιχεία· πορνεία· ἀκαθαρ<br>σία· ἀσέλγεια· εἰδωλολατρία· φαρμακεία·<br>ἔχθραι· ἔρις· ζῆλος· θυμοί· ἐριθίαι· διχοστασίαι·<br>αἱρέσεις· φθόνοι· φονοι· μέθαι· κῶμοι καὶ τὰ ὅ<br>μοια τούτοις, ἃ προλέγω ὑμῖν. καθὼς καὶ προ<br>εἶπον· ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλεί<br>αν θυ οὐ κληρονομήσουσιν. ὁ δὲ καρπὸς τοῦ |
| | |

## 12.1.13Folio 165r

| | |
|---|---|
| πνς ἐστιν ἀγάπη· χαρὰ· εἰρήνη· μακροθυμία· χρη<br>στότης· ἀγαθωσύνη· πίστις· πραότης· ἐγ<br>κράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστιν νόμος.<br>οἱ δὲ τοῦ χυ τὴν σάρκα ἐστρωσαν σὺν τοῖς<br>παθήμασιν καὶ ταῖς ἐπιθυμίαις. εἰ ζῶμεν<br>πνι, πνι καὶ στοιχῶμεν. μὴ γινώμεθα κενόδο<br>ξοι· ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθο<br>νοῦντες· ἀδελφοί, ἐὰν καὶ προλημφθῇ ἄνος ἔν<br>τινι παραπτώματι. ὑμεῖς οἱ πνικοὶ κα<br>ταρτίζετε τὸν τοιοῦτον ἐν πνι πραότητος·<br>σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς· ἀλλή<br>λων τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπλη<br>ρώσετε τὸν νόμον τοῦ χυ. εἰ γὰρ δοκεῖ τις<br>εἶναί τι μηδὲν ὤν. ἑαυτόν φρεναπατᾷ·<br>τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος<br>καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει καὶ<br>οὐκ εἰς τὸν ἕτερον· ἕκαστος γὰρ τὸ ἴδιον φορ<br>τίον βαστάσει. κοινωνείτω δὲ ὁ κατηχού<br>μενος τὸν λόγον τῶι κατηχοῦντι ἐν πᾶσιν | |
| | |

## 12.1.14Folio 165v

| | |
|---|---|
| | ἀγαθοῖς. μὴ πλανᾶσθε· θς οὐ μυκτηρίζεται·<br>ὃ γὰρ ἐὰν σπείρῃ ἄνος, τοῦτο καὶ θερίσει· ὅτι ὁ<br>σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ. ἐκ τῆς σαρ<br>κὸς θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνα<br>ἐκ τοῦ πνς θερίσει ζωὴν αἰώνιον· τὸ δὲ κα<br>λὸν ποιοῦντες μὴ ἐγκακῶμεν· καιρῷ γὰρ<br>ἰδίωι θερίσωμεν μὴ ἐκλυόμενοι· ἄρα οὖν<br>ὡς καιρὸν ἔχομεν. ἐργαζώμεθα τὸ ἀγαθὸν<br>πρὸ πάντας· μάλιστα δὲ πρὸς τοὺς οἰκείους<br>τῆς πίστεως· ἴδετε πηλίκοις ὑμῖν γράμ<br>μασιν ἔγραψα τῆι ἐμῆι χειρί· ὅσοι θέλουσιν εὐ<br>προσωπῆσαι ἐν σαρκί. οὗτοι ἀναγκάζουσιν<br>ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα τῶι στρωι |

| | |
|---|---|
| | τοῦ χυ μὴ διώκονται. οὐδὲ γὰρ οἱ περιτεμνό<br>μενοι αὐτοὶ νόμον φυλάσσουσιν ἀλλὰ θέλου<br>σιν ὑμᾶς περιτέμνεσθαι. ἵνα ἐν τῆι ὑμε<br>τέραι σαρκὶ καυχήσωνται. ἐμοὶ δὲ μὴ γένοι<br>το καυχᾶσθαι εἰ μὴ ἐν τῶι στρῶι τοῦ κυ ἡμῶν |
| | |

### 12.1.15Folio 166r

| | |
|---|---|
| | |
| ιυ χυ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐστρωται κἀγὼ τῶι<br>κόσμωι. ἐν γὰρ χωι ιυ. οὔτε γὰρ περιτομή τί ἰσχύ<br>ει οὔτε ἀκροβυστία ἀλλὰ καινὴ κτίσις· καὶ<br>ὅσοι τῶι κανόνι τούτωι στοιχήσουσιν· εἰρήνη<br>ἐπ᾽ αὐτοὺς καὶ ἔλεος καὶ ἐπὶ τὸν ϊηλ τοῦ θυ· τοῦ<br>λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ<br>γὰρ τὰ στίγματα τοῦ κυ ιυ. ἐν τῶι σώματί<br>μου βαστάζω. ἡ χάρις τοῦ κυ ἡμῶν ιυ χυ με<br>τὰ τοῦ πνς ὑμῶν, ἀδελφοί· ἀμήν. | |

## 12.2 Text of the Epistle

## 12.3 Text of the Catena

### Folio 159r

A Ἐπειδὴ οἱ ἐξ Ἰουδαίων πιστεύσαντες ἐκ Ἰεροθσαλημ. ἐσκανδαλίζοντο εἴ τας περιτομῆν κώλυει· τὸ δὲ Παύλου κήρυγμα ἀνῄρει τὴν περιτομὴν ὅπως αὐτοὺς ἀσκανδαλίστους τηρήσοι. κατ᾽ ἰδιαν αὐτοῖς ἀνέθετο τὸ κήρυγμα· τὸ εἰπεῖν δὲ τοῖς δοκοῦσιν. οὐκ ἀναιροῦντος ἐστι τὸ εἶναι τοὺς περὶ Πέτρον μεγάλους· ἀλλ᾽ὡς ἄν τις εἴποι τοῖς οὖσι· τοῖς κορυφαιοις· οὐχ ἵνα δὲ ἐγὼ μάθω φησι μήπως εἰς κενὸν τρέχω ἢ ἔ(δ)ρα(μον) τούτοις ἀνεθέμ(εν) τὸ κήρυγμα. ᾔδειν γὰρ ἐξ ἀποκαλύψεως τοῦ χριστοῦ. τὴν ἀκρίβειαν τοῦ κηρύγματος· ἀλλ᾽ ἵνα μάθωσιν οἱ διστάζειν με τοῖς περὶ πέτρον ὑπονοοῦντες. ὅτι οὐκ εἰς κενὸν τρέχω ἢ ἔ(δ)ρα(μον)

B Ἀλλ᾽ οὐδε Τίτος, φησι, Ἑλληνῶν τουτεστιν ἄκροβυστος, ἠναγκασθη περιτμηθῆναι· οὐδὲ ἐπειδὴ οἱ ψευδάδελφοι παρῆσαν. ἠναγκασαν τῖτον οἱ ἀπόστολοι περιτμηθῆναι· ὅπερ ἦν δεῖγμα τοῦ μὴ νόμοθετεῖν τοὺς ἀμφὶ πέτρον τὴν περιτομην· ψευδάδελφοι δὲ ἦσάν τινες ἐν σχήματι ἀδελφῶν χριστιανῶν. περιτομὴν κηρυσσόντες· οὐχ ὡς οἱ περὶ Πέτρον διὰ συγνκαταβασιν καὶ οἱ ἰσονομίαν. ἀλλ᾽ὡς νόμον ἐκδ(ι)κοῦντες· καὶ οἱ μὲν ἀ*γολοι. παρὰ ἰ(ου)δ(αι)ο(ι)ς· τοῦτο μόνον συνε(χ)ώρουν· ἐκεῖνοι καὶ ἐν τοῖς ἔθνεσι (π)εριτομὴν ἐνομοθετοῦν. οὗτοι γᾶρ ἦσαν οἱ γαλάτας διαθ(ορυ)βοῦντες· οἱ μ(ὲν) γὰ(ρ) ἀμφι Πέτρον δ(η)λ(οῦν)το συνεχώρουν τὴν περιτομὴν. ἵνα κατὰ μικρὸν ὑποκλέψωσι τῆς δουλείας τοῦ νόμου· οὗτοι δέ φησι. ἵνα κατὰ δουλώσωσι (τῷ) νόμ(ῳ)· διὸ ἐπάγει· οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τη ὑποταγῆ· ὥστε τὸ διὰ. ἀντὶ τοῦ καὶ τοι πρόσκειται· ὁ δὲ νοῦς οὕτως· οἱ ἀπόστολοι φησι οὐκ ἠνάγκασαν τὸν τίτον περιτμηθῆναι καὶ τοι τῶν παρεισάκτων ψευδαδέλφων ἀναγκαζόντων αὐτὸ τοῦτο ποιεῖν·

B περὶ τῆς τῶν ἀποστόλων ἐπιμαρτυρήσεως εἰστὴν ἐν πίστει ζωῇ.

### Folio 159v

A Ἀπὸ δὲ τῶν δοκούντων εἶναι μεγάλων τῶν ἀμφὶ Πέτρον φησι· τὸ δοκούντων. ἀντὶ τοῦ ὄντων· ὁποῖοί ποτε ἦσαν· οἷον εἴτε εὐαρεστοῦντες θεῳ. εἴτε οὔ· διὰ τὸ συγχωρεῖν περιτομὴν; ἐγὼ φησι οὐ διαφέρομαι· οἶδα γὰρ

ὅτι λόγον ἕκαστος δώσει· καὶ οὐκ ἂν αὐτοὺς ὁ θεὸς ἐρυθριάση διὰ τὸ εἶναι κορυφαίους· πρόσωπον γὰρ θεὸς ἀνθρώπου οὐ λαμβάνει· (ὡς) γὰρ ἐπειδὴ μεγάλοι εἰσὶ καὶ ἔξαρχοι· ὁ θεὸς πρόσωπον αὐτῶν λήψεται· καὶ οὐκ εἶπεν ὁποὶοί ποτε εἰσὶν. ἀλλ' ἦσαν· δεικνὺς ὅτι καὶ αὐτοὶ λοιπὸν. ἦσαν παυσάμενοι τοῦ ὄντως κηρύτ(τ)ειν·

Β Κατὰ τοσοῦτον φησι οὐδέν μοι διαφέρει τὰ παρ'αὐτῶν. ὅτι τέως τοῦ ἐμοῦ κηρύγματος ἀκούσαντες. οὐδὲν ἢ προσέθηκαν ἢ ἀφεῖλον· ἀλλὰ καὶ συνέπνευσαν καὶ συνεφώνησαν. τοῦτο γάρ ἐστι τὸ δεξιὰς ἔδωκαν· δοκοῦντας δὲ. οἷον τοὺς μεγάλους ὄντας καὶ πᾶσι δοκοῦντας. τοὺς περὶ Πέτρον φησι·

Γ Διελόμενοι φησι τὸ κήρυγμα. τοὺς  πτωχοὺς ἀμερίστους ἔχομεν· πτωχοὺς δὲ λέγει. τοὺς παρὰ τῶν ἰδίων συμφυλετῶν μὴ πιστευσάντων. διαρπαγέντας διὰ τὴν εἰς χριστὸν πίστιν.

Δ (Ὥσ)τε μάχης· οὔτε καταγνώσεως ἦν. τὸ τὸν Παῦλον ἀντιστῆναι τῷ Πέτρῳ. ἀλλ'οἰκονομίας· ἐπειδὴ γὰρ διὰ συγκατάβασιν οἱ περὶ πέτρον ἐν Ἰερυσαλημ συνεχωροῦντο περιτομὴν· κατὰ μικρὸν βουλόμενον τοὺς ἐξ Ἰουδαίων ἐπὶ τὸ τέλειον ἀγαγεῖν. ἐλθὼν ὁ Πέτρος εἰς Ἀντιόχειαν ἀχρι μὲν οὐδεὶς ἦν τῶν ἐξ Ἰουδίων ἄπιστος ἐκεὶ. ἀδιαφόρως μετὰ τῶν ἐξ εθνῶν πιστευσάντων συνήσθιεν· ὅτε δὲ παρεγένοντο· ἵνα μὴ αὐτοὺς σκανδαλίσῃ ἐτι ἀσθενεῖς ὄντας. ὑπεστέλλετο συνεσθίειν ἔκείνοις· τὸν δὲ Παῦλον φανερῶς ἀλλὰ μὴ κατ' ἰδιαν ἀντιστῆναι αὐτῳ. οἰκονομίας ἦν· ἵνα οἱ ὁρῶντες ἐξ Ἰουδαίων πιστοὶ τὸν διδάσκαλον αὐτῶν Πέτρον ἐγκα(λ)ούμενον φανερῶς. τί δή ποτε μὴ συνεσθίη τοῖς ἀκροβύστοις καὶ μὴ ἀντιλέγοντα. γνῶσιν ὡς **χρειώδης λοιπὸν ἡ παρατήρησις τοῦ νόμον μετὰ τὴν πίστιν· ὅτι δὲ τοῦτο ὠκονόμητο. φα(ν)ερῶς εἰς λόγους ἦλθεν ὁ Παῦλος τῶ Πέτρω. ἵνα οἱ ἐκ περιτομῆς πιστοὶ ἀκούοντες. μεταθῶν (τί) τῆ(ς) τοῦ νόμον παρατηρήσεως· ὡς εἴγε τὸ ἀληθὲς ἦν ὀργὴ. ἔδει κατ' ἰδίαν αὐτοὺς διαλεχθῆναι προς ἑαυτοὺς· κατεγνωσμένος δὲ ἦν ὁ Πέτρος τῇ ἀληθείᾳ· οὐ παρὰ τοῦ Παυλου τοῦ τὴν οἰκονομίαν εἰδότος. ἀλλὰ παρὰ τῶν ἀγνοοῦντ(ων) τὸ οἰκονομούμενον· καὶ οἰομένων ὑποκρίνειν διὰ τὸ (πρ)αγμα. (ὅ)τι ἀπόντων μὲν τῶν ἐξ Ἰουδαίων πιστῶν συνήσθιε τοῖς ἔθνεσι. παρόντων δὲ οὐκετι·

Γ (τὰ) τῆς πρὸς Κηφᾶν ἀντιρρήσεως ὑπὲρ τῆς ἐν πίστει καὶ οὐκ ἐν νομῳ σωτερίας.

## Folio 160v

ὑπόκρισιν δὲ τὸ πρᾶγμα καλεῖ· ὁ γὰρ Πέτρος συνυποκρίνεται ὡς ἁμαρτάνων ἵνα ἐν τῇ πρὸς αὐτὸν ἐπιτμήσει διορθωθῶσιν· εἰ μὲν γὰρ τοῖς ἐξ Ἰουδαίων ὁ Παῦλος ἐπέπληξεν· ἠγανάκτησαν ἂν καὶ διέπτυσαν· οὐ γὰρ πολλὴν περὶ τούτου δόξαν εἶχον· νυνῒ δὲ τὸν διδάσκαλον ὁρῶντες ἐπιτιμώμενον καὶ σιγῶντα. οὐ κτσφρονῆσαι οὔτε ἀντεῖπεῖν τοῖσ λεγομένοις εἶχον·

Α Ὃ σύ φῃσι μὴ ποιῇς. μήτε ἄλλους ἀνάγκαζε· διατὶ δὲ μὴ εἶπεν τί τοὺς ἐκ περιτομῆς ἀναγκάζεις Ἰουδαΐζειν· καὶ γὰρ δι'ἐκείνους ταῦτα διελέγετο καὶ ἀκολουθίαν εἶχεν οὕτω λεχθῆναι· ἀλλ' ἵνα δείξῃ τῶν ἰδίων κήδεσθαι μαθητῶν τῶν ἐξεθνῶν. ὅπως μὴ ἀνακαλυφθῆ ἡ οἰκονομία. δι' ἣν ἡ ἔγκλης

Β Τὸ φύσει. ἀντὶ τοῦ ἄνωθεν καὶ ἐκ προγόνων φησί.

Γ Ἤτοι διὰ τῆν ἐν αὐτῷ ἐπάχθειαν· ἔργα δὲ λέγει τοῦ νόμου. τὰ περί σαββάτου καὶ περιτομῆς καὶ γονορρυοῦς καὶ  λεπροῦς καὶ θυσιῶν καὶ περ[ρ]ι (ῥ)αντιρίων. ἅπερ ἴδιαν ἡτοῦ νόμου· τούτων δὲ. ἡ μὲν παράβασις, ἁμαρτία ἦν· ἡ δὲ φυλακὴ. οὐ δικαιοσύνης τελείας κατόρθωσις· ταῦτα γὰρ. ἑτέρων αἰνίγματα· Ἰουδαίοις δὲ ὅμως κατ' ἐκεῖνον ἥρμοτ(τ)e τὸν καιρόν.

Δ Εἰ δὲ βουλόμενοί φησι διᾶ χριστοῦ δικαιωυῆναι._εὑρέθημεν ἁμαρτωλοὶ τῷ τὸν νόμον καταλιπεῖν. ἄρα ὁ χριστὸς ἡμῖν ἁμαρτίας γέγονε πρόξενος· εἶτα τὸ ἄτοπον_τῇ ἀπαγορεύσει ἀνεῖλεν. εἰπὼν μὴτε γένοιτο.

## Folio 160v

Α κατελύσαμέν φησι τὸν νόμον. τῷ ἐάσαι αὐτὸν καὶ χριστῷ προσδραμεῖν· ἐὰν πάλιν αὐτὸν ἰστᾶν ἐπιχειροῦμεν. κατ' αὐτὸ τοῦ παραβάται ἐσμὲν· ὅτι τὰ παρημῶν λυθέντα. ἰστᾶν πάλιν ἐπιχειροῦμεν· ἐκ γὰρ τοῦ πάλιν πείθεσθαι τῷ νόμῳ. δεικνύω. ὀτι ὡς παραβάτης αὐτὸν τὸ πρῶτον εἴασα χριστῷ ἐπίστευσα.

Β Ἢ διὰ τοῦ νόμου τοῦ εὐαγγελικοῦ ἀπέθανον τῷ νόμῷ φησι. πῶς οὖν ὁ νεκρωθεὶς και ἀνενεργήτως ἔχων πρὸς αὐτὸν. φυλάξω αὐτόν. ἢ διὰ τοῦ νόμου αὐτοῦ. καὶ τῶν ἐν αὐτῷ δυσχερῶν παρατηρήσεων. νεκρὸς γέγονα τῇ ἁμαρτίᾳ δι' αὐτοῦ· ἄρ' οὖν τὸν ἀποκτείναντα φυλάξαι ἄξιον; ἤτοι αὐτῷ τῷ νόμῷ πεισθεὶς. νεκρὸν ἐμαυτὸν

τῷ νόμῳ κατέστησα ὁ νόμος γάρ μοι τὸν χριστὸν προεμήνυσε· καὶ ἐκείνῳ μέν εἰμι νεκρὸς οὐκέτι γὰρ πολιτεύομαι κατ᾽ ἐκείνον. τοῖς δὲ τούτου δόγμασιν ἕπομαι.

Γ Ὡς μόνον φησι τῆν νοητὴν ζωῆν διὰ τὸν χριστὸν ζῶ. ἀλλὰ καὶ τῆν αἰσθητήν· ὑπὸ γὰρ ἀπόφασιν ὄντες διὰ τὸν νόμον. ἢ μέλλομεν σαρκικῶς ἀποθνήσκειν ὡς ἐπὶ τοῦ κατακλυσμοῦ· ὁ δὲ χριστὸς ἡμᾶς τῆς ἀρᾶς τοῦ νόμου λυτρωσάμενος. ζῆν ἐποίησε· πῶς οὖν πάλιν ὑποστρέψωμεν πρὸς τὸν μόνον;

Δ (Οὐκ) ἀθετῶ φησι τῆν χάριν τοῦ θεοῦ. ὡς οἵ γε ἔτι καὶ νῦν τοῦ νόμου ἐχόμενοι. ἀθετοῦσι τὴν διὰ χριστοῦ χάριν. ἀθετεῖν δέ ἐστι. τὸ ἀπιστεῖν· τὸ εὐτελίζειν καὶ διαπαίζειν· εἰ γὰρ ὁ νόμος φησι σώζειν καὶ δικαιοῦν ἰσχύες. ὁ χριστὸς μάτην ἀπέθανε. διὰ τοῦτο γὰρ παρέδωκεν ἑαυτὸν ὡς τοῦ νόμου μὴ ἰσχύοντος. ἵνα αὐτοὺς σώσῃ διὰ τοῦ θανάτου αὐτοῦ· ὡς εἴτε σώζει ὁ νόμος. περιτ(τ)ὸς ὁ θάνατος τοῦ κυρίου.

Ε Ὡς τῷ γὰρ ἐπιστεύσατε φησι. ὡς αὐτὸν τοῦ χριστοῦ τὸν σωτηρίαν θεασάμενοι.

Ϛ Ἃ τῶν ἐν νόμῳ ἔργων· πνεῦμα ἅγιον φησι ἐλάβετε· καὶ τοσαῦτας δυνάμεις καὶ σημεῖα ἐποιήσατε. ἢ διὰ τῆς πίστεως· εὔδηλον ὅτι διὰ τῆς πίστεως· ἐπεὶ μὴ ὅτε τοῦ νόμου εἴχεσθε πνεύματος ἦτε ἠξιωμένοι;

(ὁπ)ῶς οὖν ἀφέντες τὴν πίστιν. ἔχεσθε πάλιν τοῦ νόμου·.

Ζ Πνεῦμα τὴν χάριν ἐκάλεσε· σάρκα δὲ. τὴν (κα)τὰ νόμον πολιτείαν.

Η Ὁ ἐπιχορηγῶην (φασι) ὑμῖν τὸ πνεῦμα θεὸς καὶ ἐνεργῶν· τουτέστιν ἐργαζόμενος (δυ)νάμεις σημείων ἐν ὑμῖν. διὰ τὰ ἐκ νόμου ἔργα ταῦτα ποιεῖ φασι. ἢ διὰ τὴν εἰς χριστὸν πίστιν· εὔδολον ὅτι διὰ ταύτην· μάλιστα μὲν οὖν ἐξ ὧν ἐπετελέσατε σημείων. ὀφείλετε γνῶναι ὅτι ἡ δύναμις ἐστὶ τῆς πίστεως· πλὴν. καὶ πρὸς τὸν προπάτορα Ἀβραὰμ ἀπίδετε. ὅτι καὶ αὐτὸς ἐκπίατεως ἐδικαιώθη.

Δ ὅτι διὰ πίστεως ὁ ἁγιασμὸς. καὶ οὐ διὰ νόμου.

## Folio 161r

Α Τὸ ἐν εὐλογήθσονται ἐν σοὶ. ἀντὶ τοῦ ἐν τῷ σπέρματί σου. φησι ὅς ἐστι χριστὸς· δύναται δὲ τὸ ἐν σοὶ. καὶ διὰ τὴν ἀπ᾽αυτοῦ πίστιν νοεῖσθαι· ἢ τὸ ἐν σοὶ. ἀντὶ τοῦ κατὰ μίμησίν σου καὶ ὁμοιότητα.

Β Ὅσοι εἰσὶ φησι ἐχόμενοι τοῦ νόμου. ἐπικατάρατοί εἰσι· διὰ τὸ μὴ ἰσχύειν πληροῦν τὸν νόμον.

Γ Γέγονέ φησι ἐπικατάρατος βουληθεὶς ὁ χριστός. ἱνα εἰστὰ ἔθνη τὰ τῆς ἐπαγγελίας τοῦ ἀβραᾶμ γένηται διὰ τοῦ χριστοῦ· σπέρμα γὰρ αὐτοῦ ὁ χριστὸς. φησι γάρ· ὅτι ἐν τῶ σπέρματί σου ἐνευλογηθονται πάντα ἔθνη.

Δ Ἐπειδή φησι ἐπηγγείλατο ὁ θεὸς τῷ Ἀβραὰμ διὰ τοῦ σπερματος αὐτοῦ εὐλογεῖσθαι τὰ ἔθνη. σπέρμα δὲ τοῦ Ἀβραὰμ τὸ κατὰ σάρκα ὁ χριστός. ὁ δὲ νόμος ἐδόθη· μετὰ υλ ἔτη· εἰ τοίνυν ὁ νόμος χαρίζεται τὰς εὐλογίας καὶ τὴν δικαιοσύνην. ἡ ἐπαγγελία καὶ ἡ διαθήκη τοῦ θεοῦ ἡ πρὸς Ἀβραὰμ. ἄκυρος γίνεται· εἶτα φησι. ἀνθρώπου μὲν οὐδεὶς ἀθετεῖ διαθήκην, τοῦ δὲ θεοῦ ἀκυροῦται ἡ διαθήκη; καὶ ταῦτα πολὺν χρόνον κρατήσασα υλ ἔτη. εἰ γὰρ ἐπηγγείλατο μὲν ἐκείνη εὐλογεῖν διὰ τοῦ χριστοῦ εὐλογεῖ. ἄρα ἀκυροῦται ἡ διαθήκη τοῦ θεοῦ ἡ πρὸς Ἀβραὰμ.

Ε Ὅτι ἀβραὰμ ἐκ πίστεως δικαιώθη εἰς τύπον ἡμῶν

Ϛ Ὅτι ὁ νόμος δικαιοῖ. ἀλλ᾽ ἐλέγχει καὶ κατάραν ἐπιτιθησιν ἣν λύει ὁ χριστός.

## Folio 161v

Α Ὡς ἐξ ἀντιθέσεως εἴρηται αὐτῷ· τί οὖν ὁ νόμος ἐδόθη φησι εἰ σῶσαι οὐκ ἰσχύει· οὐκ εἰκῆ ἐδόθη φησι. ἀλλ᾽ἵνα μὴ παραβαίνηται τὸ δοκοῦν τῶ θεῷ· ἵνα κἂν ὀλίγας πλημμελείας κωλύῃ· καλῶς οὖν τὸ προσετέθη. ἵνα δείξῃ τὸν νόμον τὰ μὴ ὄντα πρωτότυπον ὥσπερ αἱ ἐπαγγελίαι διὸ *κεὶς ἀπέραν τόν φησι ἐδόθη. ἀλλ᾽ἄχρις οὗ ἔλθῃ ὁ χριστὸς ᾧ ἐπήγγελται ἐν εὐλογεῖν πάντα τὰ ἔθνη· ἐδόθη δὲ ὁ νόμος διακομισθεὶς καὶ διαταγεὶς διὰ μέσων ἀγγέλων ἢ τῶν ἱερέων. ἢ ὄντως ἀγγέλων. διὰ χειρὸς μεσίτου τουτέστι τοῦ χριστοῦ· ὁ οὖν δεδωκὼς καὶ ἀνελεῖν ἐξουσίαν ἔχει. μεσίτην δὲ τὸν χριστὸν καλεῖ. διὰ τὸ μεσιτευσαι τῷ πατρὶ τοὺς ἀνθρώπους πρὸς φιλίαν· καὶ ἀποκαταλλάξαι ἡμᾶς προς θεὸν ἐκπολεμωμένους.

Β Ὁ λέγει τοιοῦτόν ἐστι· Μωσῆς μὲν ἐμεσιτευσεν ἑνὶ μόνον ἔθνει πρὸς τὴν δόσιν τοῦ νόμου. δεῖ δὲ τὸν ἀληθῶς μέλλοντα μεσιτεύειν πρὸς τὸν τῶν πάντων ἐθνῶν ἕνα θεὸν· οὐχ ὑπερ ἑνὸς ἔθνους. ἀλλ᾽ ὑπὲρ πάντων κοινῆ τὴν μεσιτείαν ποιήσασθαι. ἐπειδὴ καὶ πάντων τῶν ἐθνῶν εἱς εστι θεὸς· εἴη δ᾽ ἂν οὗτος οὐ ψιλὸς ἄνθρωπος

οἷος ὁ Μωσῆς. ἀλλὰ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. θεὸς τε ὢν ὁ αὐτὸς ἅμα καὶ ἄνθρωπος· καὶ τῇ συγγενεία τῇ πρὸς ἑκάτερον. εἰς ἐν συνάγων ἐν ἑαυτῶ τὰ ἑκάτερα.

Γ Εἰ γὰρ αἱ ἐπαγγελίαι φασι εὐλόγουν· ὁ δὲ νόμος ἐπικαταράτους ποιεὶ. ἄρα ὁ νόμος κατα τῶν ἐπαγγελίῶν τοῦ θεοῦ ἐδόθη· τοῦτέστιν εἰς τὸ ἐμποδίσαι αὐταῖς τοῦ εὐλογῆς (αἷς) ταύτην οὖν κωλύει τὴν ἀντίθεσιν. τοῖς τε ἑξῆς καὶ τῇ ἀπαγορεύσει εἰπὼν μὴ τένοιτο. (τὸ) συνέκλεισεν. ἀντί τοῦ ἤλεγξε τέθεικε. διηλεγξε φησι ἡ θεία γραφὴ καὶ τοὺς προκόμους τοὺς ἐν νόμω· τοὺς μὲν τὸν τῆς φυσεως. τοὺς δὲ τὸν Μωσαϊκὸν παραβαίνον, *ρας νόμον· ἀλεξιφάρμακον δὲ, τούτοις τε κακείνοις· τὴν ἐπηγγελμένην διὰ τῆς πίστεως ἰησου χριστοῦ προσενήνοχε σωτερίαν.

Ϛ ὅτι οὐκ ἐκ νόμον ἀλλ’ ἐξ ἐπαγγελίας τὰ ἀγαθά· ὁ δὲ νόμος παρασκευαστὴς δι’ἐλέγχου.

## 12.4 Notes for the Catena

| | Folio 159r |
|---|---|
| A | **ἐσκανδαλίζοντο** – 3rd person plural imperfect passive from σκανδαλίζω, I give offence to, anger, shock<br>**περιτομῆν** – circumcised<br>**κώλυει** – 3rd person singular present from κωλύω, I hinder, prevent, forbid<br>**κήρυγμα** – proclamation, announcement, preaching<br>**ἀνήρει** – 3rd person singular aorist from ἀναίρω, I raise, lift up<br>**ἀσκανδαλίστους** – (of persons) not stumbling *or* falling, (of things) free from occasion of scandal, harmless<br>**τηρήσοι** – 3rd person singular future optative from τηρέω, I guard, protect,<br>**κατ’ ἰδιαν** – privately<br>**ἀνέθετο** – 3rd person singular aorist middle from ἀνατίθημι,<br>**ἀναιροῦντος** – present participle from ἀναίρω, I raise, lift up<br>**εἴποι** – 3rd person singular aorist optative from λέγω, I say<br>**κορυφαιοις** – head men, chiefs, leaders<br>**ᾔδειν** – 1st person singular pluperfect from οἶδα, (itself a perfect) I konw<br>**ἀποκαλύψεως** – revelation<br>**ἀκρίβειαν** – exactness, precision<br>**διστάζειν** – present infinitive from διστάζω, I hesitate, doubt<br>**ὑπονοοῦντες** – present participle from ὑπονοέω, I suspect |
| B | **Τίτος** – Titus<br>**δεῖγμα** – proof, example<br>**νόμοθετεῖν** – present infinitive from νομοθετέω, I frame laws, ordain by law<br>**σχήματι** – form, shape, appearance, bearing, fashion, manner<br>**συγκατάβασιν** – condescension, descent<br>**ἰσονομίαν** – equal distribution, balance, equality<br>**ἐκδικοῦντες** – present participle from ἐκδικέω, I avenge, punish, vindicate, justify<br>**ἀ*γολοι**<br>**συνεχώρουν** – 3rd person plural imperfect from συγχορέω, I come together<br>**διαθορυβοῦντες** – present participle from διαθορυβέω, I render, uneasy, disquiet, make great noise<br>**δηλοῦντο** – 3rd person plural present middle from δηλόω, I show |

| | |
|---|---|
| | **ὑποκλέψωσι** – 3rd person plural aorist subjunctive from ὑποκλέπτω, I steal from under, draw off, suffer dishonour by stealth, keep secret, cheat, beguile<br>**ἐπάγει** – 3rd person singular present from ἐπάγω, I bring on, set on, urge on<br>**εἴξαμεν** – 1st person aorist from εἴκω, I yield<br>**ὑποταγῇ** - submission<br>**πρόσκειται** – 3rd person singular present from πρόσκειμαι, I am placed *or* laid by; πρόσκειμαι sevrves as the passive foρ προστίθημι |
| B | **ἐπιμαρτυρήσεως** – confirmation, corroboration<br>**εἰστὴν** |
| | **Folio 159v** |
| A | **εὐαρεστοῦντες** – present participle from εὐαρεστέω, I am well-pleasing<br>**διαφέρομαι** – 1st person singular present middle from διαφέρω, I differ<br>**ἐρυθριάσῃ** -<br>**κορυφαίους** – head men, chiefs, leaders<br>**ἔξαρχοι** – leader<br>**λήψεται** – 3rd person singular future from λαμβάνω, I take; using the Attic spelling<br>**ὄντως** – really, actually |
| B | **διαφέρει** – 3rd person singular present from διαφέρω, I differ<br>**τέως** – so long, in the meantime<br>**προσέθηκαν** – 3rd person plural aorist from προστίθημι, I add, put to<br>**ἀφεῖλον** – 3rd person plural aorist from ἀφαιρέω, I set aside, exclude, separate<br>**συνέπνευσαν** – 3rd person plural aorist from συμπνέω, I breathe together with, coalesce, achieve unity<br>**συνεφώνησαν** – 3rd person plural aorist from συμφωνέω, I am in harmony *or* unison, hold the same opinion, agree |
| Γ | **Διελόμενοι** – aorist participle from διαιρέω, I take apart, cleave in twain, divide<br>**ἀμερίστους** – undivided, indivisible<br>**συμφυλετῶν** – fellow-countryman<br>**διαρπαγέντας** – aorist passive participle from διαρπάζω, I plunder |
| Δ | **μάχης** – combat, battle<br>**καταγνώσεως**<br>**οἰκονομίας**<br>**συγκατάβασιν** – condescension, descent<br>**ἀδιαφόρως**<br>**συνήσθιεν**<br>**σκανδαλίσῃ**<br>**ὑπεστέλλετο**<br>**παρατηρήσεως**<br>**κατεγνωσμένος** |
| Γ | **Κηφᾶν** – Cephas<br>**ἀντιρρήσεως** |
| | **Folio 160r** |

| | |
|---|---|
| Δ | |
| Α | |
| Β | |
| Γ | |
| Δ | |
| | Folio 160v |
| Α | |
| Β | |
| Γ | |
| Δ | |
| Ε | |
| Ϛ | |
| Ζ | |
| Η | |
| Δ | |
| | Folio 161r |
| Α | |
| Β | |
| Γ | |
| Δ | |
| Ε | |
| Ϛ | |
| | Folio 161v |
| Α | |
| Β | |
| Γ | |
| Ϛ | |
| | Folio 162r |
| Α | |

## 12.5 Translation

### Folio 159r

#### A

#### B

### Folio 159v

# 13 Ἐπιστολὴ πρὸς Ἐφεσίους

## 13.1 Folio 166r

# Document Control

## Document Version Control

| | |
|---|---|
| Document Classification | Patristics |
| Document Title | ἐροῦμεν – Manuscript Barocci 3 |
| Author | Steve Watkins |
| Reviewer | |

## Document History

| Issue Number | Issue Date | Issued by | Change Description |
|---|---|---|---|
| 1.0 | 15 Mar 2023 | Steve Watkins | Initial Draft |
| 1.1 | | | |
| 1.2 | | | |